15 Νοεμβρίου 2026

Ευαγγελικό Ανάγνωσμα

(Κατά Λουκάν ι΄ 25-37)

Τῷ καιρῷ ἐκείνῳ, νομικός τις προσῆλθε τῷ Ιησοῦ ἐκπειράζων αὐτὸν καὶ λέγων· διδάσκαλε, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; Ὁ δὲ εἶπε πρὸς αὐτόν· ἐν τῷ νόμῳ τί γέγραπται; πῶς ἀναγινώσκεις; Ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς ἰσχύος σου καὶ ἐξ ὅλης τῆς διανοίας σου, καὶ τὸν πλησίον σου ὡς σεαυτόν· εἶπε δὲ αὐτῷ· ὀρθῶς ἀπεκρίθης· τοῦτο ποίει καὶ ζήσῃ. Ὁ δὲ θέλων δικαιοῦν ἑαυτὸν εἶπε πρὸς τὸν Ἰησοῦν· καὶ τίς ἐστί μου πλησίον; Ὑπολαβὼν δὲ ὁ Ἰησοῦς εἶπεν· ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἰερουσαλὴμ εἰς Ἰεριχώ, καὶ λῃσταῖς περιέπεσεν· οἳ καὶ ἐκδύσαντες αὐτὸν καὶ πληγὰς ἐπιθέντες ἀπῆλθον ἀφέντες ἡμιθανῆ τυγχάνοντα. Κατὰ συγκυρίαν δὲ ἱερεύς τις κατέβαινεν ἐν τῇ ὁδῷ ἐκείνῃ, καὶ ἰδὼν αὐτὸν ἀντιπαρῆλθεν. Ὁμοίως δὲ καὶ Λευίτης γενόμενος κατὰ τὸν τόπον, ἐλθὼν καὶ ἰδὼν ἀντιπαρῆλθε. Σαμαρείτης δέ τις ὁδεύων ἦλθε κατ᾽ αὐτόν, καὶ ἰδὼν αὐτὸν ἐσπλαγχνίσθη, καὶ προσελθὼν κατέδησε τὰ τραύματα αὐτοῦ ἐπιχέων ἔλαιον καὶ οἶνον, ἐπιβιβάσας δὲ αὐτὸν ἐπὶ τὸ ἴδιον κτῆνος ἤγαγεν αὐτὸν εἰς πανδοχεῖον καὶ ἐπεμελήθη αὐτοῦ· καὶ ἐπὶ τὴν αὔριον ἐξελθών, ἐκβαλὼν δύο δηνάρια ἔδωκε τῷ πανδοχεῖ καὶ εἶπεν αὐτῷ· ἐπιμελήθητι αὐτοῦ, καὶ ὅτι ἂν προσδαπανήσῃς, ἐγὼ ἐν τῷ ἐπανέρχεσθαί με ἀποδώσω σοι. Τίς οὖν τούτων τῶν τριῶν πλησίον δοκεῖ σοι γεγονέναι τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς; Ὁ δὲ εἶπεν· ὁ ποιήσας τὸ ἔλεος μετ᾽ αὐτοῦ. Εἶπεν οὖν αὐτῷ ὁ Ἰησοῦς· πορεύου καὶ σὺ ποίει ὁμοίως.

Μετάφραση

(Κατά Λουκάν ι΄ 25-37)

Τον καιρό εκείνο, προσήλθε στον Ιησού ένας νομικός και με σκπό να τον πειράξει του είπε «Διδάσκαλε, τι να κάνω για να κληρονομήσω ζωήν αιώνιο;». Αυτός δε του είπε, «Στον νόμο τί είναι γραμμένο; Τι διαβάζεις;». Εκείνος αποκρίθηκε, «Να αγαπήσεις Κύριος τον Θεό σου με όλη την καρδιά σου και με όλη την ψυχή σου και όλη τη δύναμή σου και με όλη τη διάνοιά σου και τον πληρίον σου όπως τον εαυτό σου». «Οριά αποκρίθηκες», είπε ο Ιησούς, «κάνε αυτό και θα ζήσεις».Εκείνος όμως ήθελε να δικαιώσει τον εαυτό του και είπε στον Ιησού, «Και ποιος είναι ο πλησίον μου;». Ο Ιησούς απάντησε, «Κάποιος κατέβηκε από την Ιερουσαλήμ εις την Ιεριχώ και έπεσε σε ληστές, οι οποίοι αφού τον έγδυσαν και τον τραυμάτισαν, έφυγαν και τον άφησαν μισοπεθαμένο. Κατά σύμπτωση ένας ιερέας κατέβαινε στον δρόμο εκείνο αλλά όταν τον είδε, πέρασε από το απέναντι μέρος. Το ίδιο έκανε και ένας Λευίτης, όταν έφτασε στον τόπο και τον είδε, πέρασε από την απέναντη πλευρά. Ένας όμως Σαμαρείτης, ενώ βάδιζε, έφθασε κοντά του και όταν τον είδε, τον σπλαχνίσθηκε. Τον πλησίασε, έδεσε τα τραύματά του, αφού τα άλειψε με λάδι και κρασί, τον ανέβασε στο δικό του ζώο και τον πήγε σε ένα ξενοδοχείο και τον περιποιήθηκε. Όταν έφυγε, την επόμενη μέρα, έβγαλε δύο δηνάρια και τα έδωσε στον ξενοδόχο και του είπε, «Περιποιήσου τον και οτιδήποτε δαπανήσει επιπλέον, εγώ θα σου τα αποδώσω όταν επιστρέψω». Από τους τρείς αυτούς ποιος σου φαίνεται ότι έγινε πλησίον σε έκεινον που έπεσε στους ληστές;». Εκείνος είπε, «Αυτός που του έδειξε ευσπλαγχνία». Και ο Ιησούς του είπε, «Πήγαινε και κάνε και σὺ το ίδιο».

Αποστολικό Ανάγνωσμα

(Προς Εφεσίους β’ 14-22)

Ἀδελφοί, Ἰησοῦς Χριστός ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἓν καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν, ἐν τῇ σαρκὶ αὐτοῦ τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας, ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον ποιῶν εἰρήνην, καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ Θεῷ διὰ τοῦ σταυροῦ, ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ· καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην ὑμῖν τοῖς μακρὰν καὶ τοῖς ἐγγύς, ὅτι δι' αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν οἱ ἀμφότεροι ἐν ἑνὶ πνεύματι πρὸς τὸν πατέρα. Ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ Θεοῦ, ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν,

ὄντος ἀκρογωνιαίου αὐτοῦ Ἰησοῦ Χριστοῦ, ἐν ᾧ πᾶσα ἡ οἰκοδομὴ συναρμολογουμένη αὔξει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ· ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν Πνεύματι.

Μετάφραση
(Προς Εφεσίους β' 14-22)

Ἀδελφοί, ὁ Ἰησοῦς Χριστός εἶναι ἡ εἰρήνη μας, ὁ ὁποῖος συνήνωσε τὰ δύο μέρη καὶ κατέρριψε τὸ μεσότοιχον τοῦ φραγμοῦ, δηλαδὴ τὴν ἔχθραν, καταργήσας διὰ τῆς σαρκός του τὸν νόμον τῶν ἐντολῶν ποὺ συνίστατο εἰς διαταγάς, διὰ νὰ δημιουργήσῃ εἰς τὸν ἑαυτόν του, ἀπὸ τὰ δύο μέρη, ἕνα νέον ἄνθρωπον καὶ νὰ φέρῃ εἰρήνην καὶ νὰ συμφιλιώσῃ μὲ τὸν Θεὸν καὶ τὰ δύο μέρη εἰς ἕνα σῶμα διὰ τοῦ σταυροῦ, διὰ τοῦ ὁποίου ἐθανάτωσε τὴν ἔχθραν. Καὶ ὅταν ἦλθε, ἐκήρυξε τὸ χαρμόσυνον ἄγγελμα εἰρήνης σ' ἐσᾶς ποὺ ἤσαστε μακρυά, καὶ εἰς τοὺς πλησίον, διότι δι' αὐτοῦ ἔχομεν καὶ οἱ δύο εἴσοδον πρὸς τὸν Πατέρα μὲ ἕνα Πνεῦμα. Ὥστε λοιπόν, δὲν εἶσθε πλέον ξένοι καὶ παρεπίδημοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ Θεοῦ, διότι ἔχετε οἰκοδομηθῆ ἐπάνω εἰς τὸ θεμέλιον τῶν ἀποστόλων καὶ τῶν προφητῶν, τοῦ ὁποίου ὁ Ἰησοῦς Χριστὸς εἶναι ὁ ἀκρογωνιαῖος λίθος, ἐπάνω εἰς τὸν ὁποῖον ἡ ὅλη οἰκοδομὴ συναρμολογεῖται καὶ αὐξάνει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ. Ἐν αὐτῷ καὶ σεῖς συνοικοδομεῖσθε, ὥστε νὰ γίνετε τόπος κατοικίας τοῦ Θεοῦ διὰ τοῦ Πνεύματος.